προβάτων, ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν, περὶ ἁμαρτίας· καὶ ἐξι-
λάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρ-
τεν, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία.
7 [7] Ἐὰν δὲ μὴ ἰσχύσῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς τὸ πρόβατον,
οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν, δύο τρυγόνας ἢ δύο
νεοσσοὺς περιστερῶν κυρίῳ, ἕνα περὶ ἁμαρτίας καὶ ἕνα εἰς ὁλο-
8 καύτωμα. [8] καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα, καὶ προσάξει ὁ ἱερεὺς
τὸ περὶ τῆς ἁμαρτίας πρότερον· καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κε-
9 φαλὴν αὐτοῦ ἀπὸ τοῦ σφονδύλου καὶ οὐ διελεῖ· [9] καὶ ῥανεῖ ἀπὸ
τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας ἐπὶ τὸν τοῖχον τοῦ θυσια-
στηρίου, τὸ δὲ κατάλοιπον τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν
10 βάσιν τοῦ θυσιαστηρίου· ἁμαρτίας γάρ ἐστιν. [10] καὶ τὸ δεύτερον
ποιήσει ὁλοκαύτωμα, ὡς καθήκει. καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς
11 ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν, καὶ ἀφεθήσεται αὐτῷ. — [11] ἐὰν δὲ
μὴ εὑρίσκῃ αὐτοῦ ἡ χεὶρ ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περι-
στερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ περὶ οὗ ἥμαρτεν, τὸ δέκατον
τοῦ οιφι σεμίδαλιν περὶ ἁμαρτίας· οὐκ ἐπιχεεῖ ἐπ᾿ αὐτὸ ἔλαιον
12 οὐδὲ ἐπιθήσει ἐπ᾿ αὐτὸ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστίν· [12] καὶ
οἴσει αὐτὸ πρὸς τὸν ἱερέα. καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ᾿ αὐτῆς
πλήρη τὴν δράκα, τὸ μνημόσυνον αὐτῆς ἐπιθήσει ἐπὶ τὸ θυσια-
13 στήριον τῶν ὁλοκαυτωμάτων κυρίῳ· ἁμαρτία ἐστίν. [13] καὶ ἐξιλά-
σεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν,
ἐφ᾿ ἑνὸς τούτων, καὶ ἀφεθήσεται αὐτῷ. τὸ δὲ καταλειφθὲν ἔσται
τῷ ἱερεῖ ὡς ἡ θυσία τῆς σεμιδάλεως.
14 15 [14] Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [15] Ψυχὴ ἐὰν λάθῃ
αὐτὸν λήθῃ καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων κυρίου, καὶ οἴ-
σει τῆς πλημμελείας αὐτοῦ τῷ κυρίῳ κριὸν ἄμωμον ἐκ τῶν προ-
βάτων τιμῆς ἀργυρίου σίκλων, τῷ σίκλῳ τῶν ἁγίων, περὶ οὗ
16 ἐπλημμέλησεν. [16] καὶ ὃ ἥμαρτεν ἀπὸ τῶν ἁγίων, ἀποτείσαι αὐτὸ
καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ᾿ αὐτὸ καὶ δώσει αὐτὸ τῷ ἱερεῖ·
καὶ ὁ ἱερεὺς ἐξιλάσεται περὶ αὐτοῦ ἐν τῷ κριῷ τῆς πλημμελείας,
καὶ ἀφεθήσεται αὐτῷ.
17 [17] Καὶ ἡ ψυχή, ἣ ἂν ἁμάρτῃ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν
ἐντολῶν κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω καὶ πλημμελήσῃ
18 καὶ λάβῃ τὴν ἁμαρτίαν, [18] καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προ-
βάτων τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα· καὶ ἐξι-
λάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνό-

7 ισχυι (pro -υη) A | το $2^0$ > A || 10 της > A† || 11 σεμιδαλεως B† || 12 ο ιερ./απ αυτης] tr. A | αμαρτιας B^c || 13 αυτου $2^0$] εστιν A† || 15 εαν] η αν B^c | τω σικλω] του σικλου A† || 16 ο $1^0$ > A | αποτισει B^c || 17 η ψυχη η αν] ψ. εαν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/216 UNIVERSITÄT LEIPZIG